www.tezaurliturgic.ro

TEZAUR LITURGIC

23 MAI

HARALAMBOS BOUSIA

# SLUJBA SF.CUVIOS IOACHIM PAPOULAKIS DE LA ITHACA

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ ΚΓ΄ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ ΙΩΑΚΕΙΜ ΙΘΑΚΗΣΙΟΥ ΟΣΙΟΥ ΤΟΥ ΠΑΠΟΥΛΑΚΗ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρος. Χαραλάμπους Μ. Μπούσια**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις το Κύριε εκέκραξα, ιστώμεν στίχους δ΄ και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος β΄. Ότε εκ του ξύλου.

Κλέος ασκητών, Ιωακείμ, έρωτι τρωθείς τω αγίω ναυπόρου έλιπες έργον και νεότητος ακμήν, πανόσιε, και το Όρος το Άγιον κατώκησας χαίρων, ένθα την ισάγγελον προείλου βίωσιν και δι ἀσιγήτου νηστείας και υπακοής χαρισμάτων γέγονας του Πνεύματος κυάθιον.

Κλέος ασκητών, Ιωακείμ, αίρων τον Σταυρόν του Κυρίου επί των ώμων σου, άπασαν διέτρεξας την Πελοπόννησον αληθείας της πίστεως τας θείας κηρύττων και το επερχόμενον προλέγων άπασιν ήμαρ, τοις εν σκότει κειμένοις και σκια πικράς τυραννίδος, της ελευθερίας το ποθούμενον.

Κλέος ασκητών, Ιωακείμ, γόνε ιερέ της Ιθάκης, πτωχών υπέρμαχος, τροφοδότης τάχιστος χηρών, επάρκεια ορφανών και αντίληψις καμνόντων επώφθης· όθεν σου την πάντιμον τιμώντες κοίμησιν και την των λειψάνων σου θήκην πόθω ασπαζόμενοι υμνών άνθεσι τερπνοίς σε καταστέφομεν.

Κλέος ασκητών, Ιωακείμ, φρέαρ ανεξάντλητον ξένων, θαυμάτων πέλαγος και κρουνός ιάσεων οφθείς εκέρασας τον εις σε καταφεύγοντα λαόν της Ιθάκης ζωηρρύτοις νάμασι και καθηγίασας την αναβλαστήσασαν χθόνα σε και γεραρόν κυβερνήτην εν τρικυμιών τω σάλω έχουσαν.

Δόξα. Ήχος δ΄.

Ισαγγέλως βιώσας άρτι εν Βατοπεδίω και Ιθάκη των πάλαι οσίων εμιμήσω τας τρίβους, Ιωακείμ παμμακάριστε· και ως αστήρ διαυγέστατος εν καιρώ δουλώσεως του γένους εξανατείλας τους πιστούς εφώτισας σοις λόγοις και θείαις προσρήσεσι· Χριστόν ουν δοξάσας λόγοις ευσεβείας και πράξεσι θαυμάτων πηγή θεοβρυτος ώφθης και μεσίτης ημών προς Κτίστην θερμότατος.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων τους δούλους Σου...

Αποστιχα. Ήχος β΄. Οίκος του Εφραθά.

Κλέϊσμα μοναστών, Ιωακείμ, ωράθης και ιεραποστόλων εν τοις εσχάτοις χρόνοις φαιδρότατον καλλώπισμα.

Στίχος: Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Γάνυται επί σε το του Βατοπεδίου, Ιωακείμ, σεμνείον ομού συν τη Ιθάκη, προστάτην τη εχούση σε.

Στίχος: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Χαίρε, της του Θεού αγάπης εκμαγείον και της φιλαδέλφειας ακρότης, θεοφόρε Ιωακείμ, πανόσιε.

Δόξα. Τριαδικόν.

Πάτερ συν τω Υιώ και Πνεύματι τω θείω, τρισήλιε Θεότης, ελέησον τον κόσμον Ιωακείμ δεήσεσι.

Και νυν. Θεοτοκίον.

Λύτρωσαι πειρασμών, πανύμνητε Παρθένε, κακώσεων και νόσων τους προσκυνούντας πόθω Ιωακείμ την κοίμησιν.

Νυν απολύεις. Το Τρισάγιον.

Απολυτίκιον. Ήχος γ΄. Θείας πίστεως.

Θεία χάριτι λελαμπρυσμένος κατεφώτισας τους εν σκοτεία, αγνωσίας και δουλώσεως πέλοντας, ταις διδαχών και θαυμάτων ακτίσί σου, Ιωακείμ, ασκητά ενθεώτατε· γόνε πάντιμε Ιθάκης, Χριστόν ικέτευε δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Και νυν. Θεοτοκίον.

Σε, την μεσιτεύσασαν…

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα ιστώμεν στίχους στ καὶ ψάλλομεν τα εξής Στιχηρά Προσόμοια. Ήχος α΄. Των ουρανίων ταγμάτων.

Ιθακησίων η νήσος φρουρόν πλουτήσασα σε χρόνοις εν εσχάτοις, ευσταλές ταύτης γόνε, προσάγει

ευχαρίστως, Ιωακείμ, μελωδίας και ύμνους σοι αναβοώσα· εκλύτρωσαι πειρασμών και δεινών με ικεσίαις σου.

Βατοπεδίου η μάνδρα σε υπεδέξατο και αρετών παντοίων έδειξε σε ταμείον, σεμνότης μονοτρόπων, Ιωακείμ, και Θεού φίλε γνήσιε· διο και χαίρει νυν άγουσα την σεπτήν και φωσφόρον σου πανήγυριν.

Πεζοπορών εν Ιθάκη ανήρτας, όσιε, επί των ώμων πήραν πλήρη λίθων βαρέων ποθών καταπονήσαι, Ιωακείμ, την ταλαίπωρον σάρκα σου και ανυψώσαι τον νουν σου προς τον Θεόν και Δεσπότην ανετώτερον.

Ωκεανόν ώσπερ άλλον θαυμάτων έγνωμεν, Ιωακείμ, σε πάντες και πλημμύραν χαρίτων, οι πόθω καταφεύγοντες τη σορώ των τιμίων λειψάνων σου· υπερφυέστατα νέμεις γαρ δωρεάς θεϊκάς τοις ανυμνούσί σε.

Πανευσθενώς το σον πλοίον, σοφέ, προσήγγισας τη παραλία, ένθα των απίστων τα στίφη διέχεον τον όλεθρον και σφαγήν Ορθοδόξων τοις πλήθεσι και τη δυνάμει τη θεία, Ιωακείμ, ηδυνήθης τούτα σώσασθαι.

Υπηρετείν κατεδέχθης, θεοφορούμενε Ιωακείμ, ασμένως ιατρόν αντί άλλου πτωχού εξωγρισμένου παίδων πατρός δια χρέη δωρούμενος ελευθερίαν εκείνω την ποθεινήν, οσιώτατε φιλάνθρωπε.

Δόξα. Ήχος πλ. β΄.

Των φιλεόρτων Ιθακησίων οι δήμοι και φιλοσίων Αθω οι σύλλογοι, δεύτε, σήμερον συνελθόντες τιμήσωμεν

Ιωακείμ τον θεσπέσιον· ούτος γαρ εγκράτεια το σώμα περιφραξάμενος και Χριστού τας αληθείας ευθαρσώς κηρύξας χάριν είληφεν απελαύνειν των ανθρώπων τας νόσους· και νυν των εφετών απολαύων και παρρησίαν έχων προς Κύριον ασιγήτως πρεσβεύει υπέρ ειρήνης του κόσμου και σωτηρίας των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Τις μη μακαρίσει σε, Παναγία Παρθένε...

Είσοδος. Φως ιλαρόν. Το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα (Κεφ. η 1-11)

Συ την σοφίαν κηρύξεις, ίνα φρόνησίς σοι υπακούση· επί γαρ των υψηλών άκρων εστίν, ανά μέσον δε των τρίβων έστηκε· παρά γαρ πύλαις δυναστών παρεδρεύει, εν δε εισόδους υμνείται. Υμάς, ω άνθρωποι, παρακαλώ και προΐεμαι εμήν φωνήν υιοίς ανθρώπων· νοήσατε άκακοι, πανουργίαν, οι δε απαίδευτοι έσεσθε καρδίαν. Εισακούσατέ μου, σεμνά γαρ ερώ και ανοίσω από χειλέων ορθά· ότι αλήθειαν μελετήσει ο φάρυγξ μου, εβδελυγμένα δε εναντίον εμού χείλη ψευδή. Μετά δικαιοσύνης πάντα τα ρήματα του στόματός μου, ουδέν εν αυτοίς σκολιόν ουδέ στραγγαλιώδες· πάντα ενώπια τοις συνιούσι και ορθά τοις ευρίσκουσι γνώσιν. Λάβετε παιδείαν και μη αργύριον, και γνώσιν υπέρ χρυσίον δεδοκιμασμένον·

κρείσσων γαρ σοφία λίθων πολυτελών, παν δε τίμιον ουκ άξιον αυτής εστιν.

Σοφίας Σειράχ το Ανάγνωσμα. (Κεφ. ζ 10-17)

Υιέ, μη ολιγοψυχήσης εν τη προσευχή σου και ελεημοσύνην ποιήσαι μη παρίδης. Μη καταγελά άνθρωπον όντα εν πικρία ψυχής αυτού, εστί γαρ ο ταπεινών και ανυψών. Μη αροτρία ψεύδος επ ἀδελφῷ σου, μηδὲ φίλω το όμοιον ποίει. Μη θέλε ψεύδεσθαι παν ψεύδος, ο γαρ ενδελεχισμός αυτού ουκ εις αγαθόν. Μη αδολέσχει εν πλήθει πρεσβυτέρων και μη δευτερώσης λόγον εν προσευχή σου. Μη μισήσης επίπονον εργασίαν και γεωργίαν υπό Υψίστου εκτισμένην. Μη προσλογίζου σεαυτόν εν πλήθει αμαρτωλών. Μνήσθητι ότι οργή ου χρονιεί. Ταπείνωσον σφόδρα την ψυχήν σου, ότι εκδίκησις ασεβούς πυρ και σκώληξ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. ε 15- στ 3)

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού, και οπλοποιήση την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνης, και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα

ακαταμάχητον οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν· συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου των νεφών, επί σκοπόν αλούνται· και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ αὐτῶν ύδωρ θαλάσσης, ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς. Και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν βασιλείς και συνέτε· μάθετε δικασταί περάτων γης. Ενωτίσασθε οι κρατούντες πλήθους και γεγαυρωμένοι επί όχλοις εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν, Ιδιόμελα. Ήχος α΄.

Αγάλλου εν Κυρίω, Ιθακησίων η πανεύφημος νήσος εν κόλποις κατέχουσα όλβον ασύλητον και ιατρείον αδάπανον τα θαυματόβρυτα λείψανα του σεπτού σου γόνου Ιωακείμ του μάκαρος· ούτος γαρ εργάτης των εντολών του Κυρίου και ομότροπος των αποστόλων γενόμενος ηξιώθη σπείραι Ευαγγελίου τον σπόρον τοις εν σκοτεία δουλείας ούσι και πρεσβεύειν Χριστώ υπέρ των ψυχών ημών.

Ήχος β΄.

Ώσπερ τω υποδούλω χριστεπωνύμω ημών έθνει την οδόν της ελευθερίας υπεδείκνυς, Ιωακείμ ενθεώτατε,

ούτω και νυν ημάς τους τιμώντας την μνήμην σου και εκδεχομένους την σην αντίληψιν νοερώς εφιστάμενος χειραγώγησον προς ζωήν την αιώνιον τρόπους μετανοίας υποδεικνύμενος.

Ήχος γ΄.

Τον νεοφανή αστέρα της ευσεβείας, Ιωακείμ, Βατοπεδίου το πάνσεμνον ανάστημα, τοις ύμνων άνθεσιν εκθύμως καταστέψωμεν· ούτος γαρ καταλιπών παν ρέον και πρόσκαιρον το της Θεόπαιδος Αγιώνυμον Όρος ώκησε σκεύος υπακοής και σεμνότητος γενόμενος· και του Παύλου τας περιοδείας μιμούμενος πόλεις και τόπους υποδούλων συνεχώς διήμειβε Χριστόν και ελευθερίαν ευαγγελιζόμενος· και νυν εν τη ουρανίω πόλει οικών, ην ως μέλλουσαν εν γη βιών επεζήτει πρεσβεύει Χριστώ αξιώσαι και ημάς της αφθίτου βιώσεως.

Ήχος δ΄.

Θείω Πνεύματι κινούμενος εν τη ση πατρίδι παρεγένου και Ιθακησίων τους δήμους ηγίασας τη ελεύσει σου, Ιωακείμ θεοδόξαστε· αγαπήσας ουν τούτους ως σεαυτόν εδείχθης πενήτων τροφός, χειμαζόμενων καταφύγιον και των εν περιστάσει όντων αρωγός συμπαθέστατος· όθεν ο μισθαποδότης Κύριος ως τηρητήν των Αυτού εντολών ακριβέστατον ηξίωσε προσβεύειν υπέρ των τελούντων την πάντιμον μνήμην σου.

Δόξα. Ήχος πλ. α΄.

Μελίχροις μελωδήμασι, δεύτε, πάντες οι φιλέορτοι, επαινέσωμεν την θεοφιλή πολιτείαν και τα κατορθώματα του νεοφανούς οσίου, Ιωακείμ του πάνυ σώφρονος·ούτος γαρ εν Βατοπεδίω των μοναχών αμπεχόμενος τριβώνιον και απεκδυσάμενος τον παλαιόν άνθρωπον ενεδύθη τον νέον της χάριτος και ισαγγέλως εβίωσεν· όθεν κήρυξ ηξιώθη γενέσθαι της χάριτος, ιατρός ψυχών και σωμάτων ταχύτατος και φιλανθρώπου δράσεως ακρώρεια, πάσιν εκχέων την αυτού ευσπλαγχνίαν καιν νυν τω Σωτήρι παριστάμενος εν τη βασιλεία των ουρανών αδιαλείπτως πρεσβεύει Αυτώ, όπως ίλεως γένηται ημίν εν τη φοβερά και φρικτή ημέρα της Κρίσεως.

Και νυν. Θεοτοκίον.

Μακαρίζομεν Σε, Θεοτόκε Παρθένε...

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α΄. Χαίροις ασκητικών.

Χαίροις, φιλανθρωπίας εικών, ακτημοσύνης η λαμπρά υποτύπωσις, αγάπης προς τον πλησίον και τον Θεόν αληθώς μυροθήκη πάσι μύρον χέουσα ευώδες και ήδιστον, ασκητά ενθεώτατε, Ιθάκης γόνε τιμαλφές και υπέρτιμε, ο δεήσεσι την ψυχήν καθηράμενος αδιαλείπτοις, στάσεσι παννύχοις και δάκρυσι τοις αειρρόοις· διόπερ, Ιωακείμ, την σεβάσμιον τιμώντες σου μνήμην μεγαλύνομεν τον δόντα σοι θείαν δύναμιν.

Στίχος: Τίμιος εναντίον Κυρίου…

Χαίροις, ο της Ιθάκης βλαστός, Βατοπεδίου της μονής εγκαλλώπισμα, κανών ιεραποστόλων και διδασκάλων σοφών ακρεμών, αγάπης ενδιαίτημα· δοχείον της χάριτος, πολυχεύμων ιάσεων και θαυμασίων ποταμός αναδέδειξαι εν τοις έτεσι τοις εσχάτοις, πανόσιε· όθεν τη των λειψάνων σου σορώ καταφεύγοντες, Ιωακείμ, οι εν νόσοις και ζοφεροίς αρρωστήμασιν ιάσεων ρείθρα αρυόμεθα αφθόνως και αγαλλόμεθα.

Στίχος: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Χαίροις, εις ηλικίας ακμήν ο προσαράξας εις το Όρος το Άγιον ψυχής το ιστιοφόρον και διαπλεύσας καλώς και σωφρόνως βίου πάντα ρέοντα· Ιθάκης εκβλάστημα, τα σα ώτα εσφράγισας τοις ηδυμόλποις των Σειρήνων ακούσμασι και τα όμματα τω Κυρίω ανέτεινας· όθεν και χάριν είληφας κηρύττειν τοις πέρασιν, Ιωακείμ θεοφόρε, Ευαγγελίου τα ρήματα εν χρόνοις δουλείας, οι καρποί ελευθερίας εξ ων εβλάστησαν.

Δόξα. Ήχος πλ. δ΄.

Χαίρε και αγάλλου Ιθακησίων η νήσος τοιούτον προστάτην εκ Θεού κληρωσαμένη και Αθω φάραγγες και δρυμοί, οι πνευματικώς άρτι διαθρέψαντες Ιωακείμ, τον εν ασκηταίς μέγιστον, και διδασκάλων αρχέτυπον· αυτόν και ημείς, οι μιμνησκόμενοι της ακραιφνούς αυτού πολιτείας, μεσιτηνπροσαγοντες θερμότατον προς Κύριον και ρύστην εν κινδύνοις

ταχύτατον, αιτούμεθα δυσωπείν Χριστόν τον πανοικτίρμονα σωθήναι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Ανύμφευτε Παρθένε, η τον Θεόν...

Νυν απολύεις. Το Τρισάγιον.

Απολυτίκιον. Ήχος γ΄. Θείας πίστεως.

Θεία χάριτι λελαμπρυσμένος κατεφώτισας τους εν σκοτεία αγνωσίας και δουλώσεως πέλοντας ταις διδαχών και θαυμάτων ακτίσί σου, Ιωακείμ, ασκητά ενθεώτατε· γόνε πάντιμε Ιθάκης, Χριστόν ικέτευε δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Και νυν. Θεοτοκίον.

Σε, την μεσιτεύσασαν...

Απόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά την α΄ Στιχολογίαν, Κάθισμα.

Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Νεοφωτός λαμπτήρ τη Χριστού Εκκλησία εφάνης εν καιροίς ζοφεροίς της δουλείας και ηύγασας άπαντας κηρυγμάτων ακτίσί σου· όθεν σήμερον, Ιωακείμ θεοφόρε, την σεβάσμιον και φωτοφόρον σου μνήμην ωδαίς καταστέφομεν.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον

Κυβέρνησον, αγνή, την εν κλύδωσι βίου και πλείστοις πειρασμοίς ποντουμένην, Παρθένε, ψυχήν

μου και σώσον με, τον πολυστηνον δούλόν σου· σε γαρ έγνωκα όρμον αχείμαστον όντως και ακύμαντον λιμένα, Μήτερ άγια, του κόσμου προσφύγιον.

Μετά την β΄ Στιχολογίαν,

Κάθισμα. Ήχος δ΄. Ο υψωθείς.

Βατοπεδίου ασκητήν τον θεόπνουν και της Ιθάκης εγκαλλώπισμα μέγα, Ιωακείμ, τιμήσωμεν, πιστοί, εκτενώς και αυτού τα λείψανα, τα βλυστάνοντα πάσι νάματα ιάσεων και προσκυνήσωμεν πίστει αναβοώντες· όσιε Χριστού, υπάρχεις σκέπη ημών και διασωσμα.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Η των απάντων ποιητήν τετοκυία, θεογεννήτορ, και ημάς ρυσαμένη εκ της αρχαίας, κράξωμεν, κατάρας ταχύ συμφορών εκλύτρωσαι τους προστρέχοντας πόθω ταις προς τον Παντάνακτα ρυπτικαίς σου πρεσβείαις και των πταισμάτων άφεσιν ημίν παράσχου πάσι τοις σε μακαρίζουσι.

Μετά τον Πολυέλεον, Κάθισμα.

Ήχος γ΄. Την ωραιότητα.

Λόγοις ενθέοις σου ψυχάς επτέρωσας προς τα ουράνια όντως σκηνώματα, Ιωακείμ, των εν σκια δουλώσεως διαγόντων και της αγαπήσεως προς τον πέλας ακρώρεια και Θεόν γενόμενος τον σον δρόμον ετέλεσας και χάριν δαψιλώς ουρανόθεν νόσους απείληφας διώκειν.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Την σκοτισθείσάν μου ψυχήν καταύγασον φωτί της χάριτος του θείου τόκου σου, αγνή Παρθένε, Μαριάμ, ελπίς των απηλπισμένων και αχλύν απέλασον των απείρων πταισμάτων μου, όπως εύρω έλεος εν τη ώρα της Κρίσεως και πόθω ασιγήτως βοώ σοι· Χαίρε, η Κεχαριτωμένη.

Το α ἀντίφωνον του δ ἤχου.

Προκείμενον: Καυχήσονται Όσιοι εν δόξη και αγαλλιάσονται επί των κοιτών αυτών.

Στίχος: Άσατε τω Κυρίω άσμα καινόν, η αίνεσις αυτού εν Εκκλησία οσίων.

Ευαγγέλιον Οσιακόν. (Ζήτει αυτό τη ε Δεκεμβρίου).

Ο Ν΄ Ψαλμός.

Δόξα.

Ταις του σου Οσίου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν.

Ταις της Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Ιδιόμελον. Ήχος πλ. β΄. Στίχος: Ελεήμον, Ελέησον με, ο Θεός, κατά το μέγα έλεός σου...

Οσιώτατε πάτερ Ιωακείμ, η φωτοφόρος σου μνήμη προς δοξολογίαν κινεί του Θεού ημάς τους συνηγμένους τελέσαι αυτήν χαρμοσύνως· πρέσβευε ουν τω Κυρίω, θαυματόβρυτε ακέστορ ημών,

καταπέμψαι ημίν φωτισμόν ουρανόθεν και άμετρον έλεος.

Είτα ο Κανών του Οσίου, ου η ακροστιχίς: ΙΘΑΚΗΣ ΤΙΜΙΟΝ ΓΕΡΑΣ, ΙΩΑΚΕΙΜ, ΤΙΜΑΣΘΩ. Χ.

Ωδή α΄. Ήχος δ΄. Ανοίξω το στόμα μου.

Ιθάκης το βλάστημα, το ευθαλές και ηδύπνευστον, οσίων τοις ίχνεσιν εν τοις εσχάτοις καιροίς τον βαδίσαντα, Ιωακείμ τον θείον, υμνήσαι τα χείλη μου άνοιξον,Κύριε.

Θαρρήσας κατέλιπες ιστιοφόρον, εν ώπερ συ ναυτόπαις πειθήνιος υπήρχες, Ιωακείμ, και ανέδραμες εν τη Βατοπεδίου μονή απαρνήσασθαι άπαν το βρότειον.

Ακμαίω φρονήματι και διαυγεί όντως βλέμματι τον δρόμον επέλεξας της μοναχών βιοτής και εξέθεσας σαφώς τω προεστώτι, σοφέ, την ενδόμυχον επιθυμίαν σου.

Θεοτοκίον.

Κριμάτων αβύσσους μου ταις σαις πρεσβείαις απόπλυνον, αγνή Μητροπάρθενε, και καθαρόν εις μονάς του Παντάνακτος και Ζωοδότου δέξαι τον τλήμονα δούλόν σου ανευφημούντά σε.

Ωδή γ΄. Τους σους υμνολόγους.

Ησκήσω εν Όρει τω Αγίω οσίως, στερρέ Ιωακείμ, και ώσπερ άλλη μέλισσα συνέλεγες γλυκύτατον σοφίας και συνέσεως μέλι διο ευφημούμέν σε.

Σωφρόνως διάγων εν τω Αθω εδείχθης κανών υπακοής και τύπος ακριβέστατος ασκητικής βιώσεως· διο και ξένων, όσιε, θαυμάτων γέγονας χείμαρρος.

Ταχύτατος ώφθης πεζοπόρος, ενάρετος και διδακτικός, ακρότης διοράσεως, οξυδέρκειας πρόβολος και της ενθέου προτύπον ρητορικής, οσιώτατε.

Θεοτοκίον.

Ιδού, μακαρίζομέν σε πάντες, Παντάνασσα, νυν οι γηγενείς, ότι εν τη κοιλία σου Χριστόν τον Παντοκράτορα υπερφυώς εκύησας, τον καταργήσαντα θάνατον.

Κάθισμα. Ήχος πλ. δ . Την Σοφίαν και Λόγον.

Της φθοράς τον χιτώνα αποβαλών εγκρατεία συντόνω και προσευχή αφθίτου βιώσεως ημφιάσω ευπρέπειαν τη θεία ενεργεία του Πνεύματος, όσιε, Ιωακείμ θεόφρον,Ιθάκης αγλαισμα· όθεν λαμπροχίτων προς της δόξης επήρθης τους δρόμους και είληφας σων καμάτων αντίδωρον θεραπεύειν ιάματα· πρέσβευε ουν, πάτερ, Χριστώ των πταισμάτων άφεσιν δωρήσασθαι τοις εορτάζουσι πόθω την αγίαν μνήμην σου.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον.

Σε πλουτούμεν προστάτιν οι γηγενείς, Θεοτόκε πανύμνητε Μαριάμ, χαράν και αντίληψιν, ευφροσύνην και στήριγμα οι απαύστως αινούντες τον

πάντιμον τόκον σου και σε δοξολογούντες εις χρόνον τον άπαντα· όθεν τη ση σκέπη καταφεύγομεν πίστει οι δούλοί σου κράζοντες· υφηλίου Παντάνασσα, Μητροπάρθενε Δέσποινα, πρέσβευε τω σω Υιώ και Θεώ των πταισμάτων δούναι πάσιν άφεσιν τοις του οσίου τελούσιν φωσφόρον πανήγυριν.

Ωδή δ΄. Ο καθήμενος εν δόξη.

Μοναχέ πνευματοφόρε, τον ζυγόν της δουλώσεως του χριστεπωνύμου έθνους μη βαστάζων ανέδραμες τοις υποδούλοις κηρύξαι θεία χάριτι, γενναιότατε, την κατ απίστων εξέγερσιν.

Ιεραποστόλων κλέος, οδηγόν έχων πάντοτε της ελευθερίας υπερασπιστήν μόνον Κύριον δεινοπαθούσι το ήμαρ το ευφρόσυνον διεκήρυττες το επερχόμενον τάχιστα.

Οδοδείκτης πλανωμενών ανεδείχθης σαφέστατος και ολιγοψύχους λόγοις σου σοφοίς ενεθάρρυνας, Ιωακείμ Παπουλάκη· όθεν άπαντες την πανεύφημον μνήμην σου ύμνοις γεραίρομεν.

Θεοτοκίον.

Νόμοι βρότειοι, Παρθένε Μαριάμ, ουκ ισχύουσιν εν τη ση κυήσει, ότι ανηρότως συνέλαβες εν τη γαστρί σου τη θεία τον Θεάνθρωπον, ον δοξάζοντες σε οι πιστοί μακαρίζομεν.

## Ωδή ε΄. Εξέστη τα σύμπαντα.

Γηθόμενοι μέλπομεν καμάτους τους αόκνους σου, ούσπερ κακουχούμενος νηστεύων και γυμνητεύων, Ιωακείμ, καρτερώς υπέμεινας έχω τον σον νουν εστραμμένον, όσιε, προς Χριστόν τον Σωτήρά σου.

Ενθέοις σου ρήμασι λαμπρύνας Πελοπόνησσον πάσαν ζήλω Παύλου του μεγίστου εν ταις καρδίαις την εσβεσμένην πολλών ανάψαι της πίστεως Χριστού φλόγα την σωτήριον ηξιώθης, μακάριε.

Ρωννύμενος άνωθεν στερήσεις καθυπέμεινας πλείστας, ίνα τήξης την σην σάρκα ωσεί κηρίον και του δολίου εχθρού πατήσης οφρύν, Ιωακείμ, νέον εγκαλλώπισμα της Χριστού θείας πίστεως.

Θεοτοκίον.

Απαύστως βοώμεν σοι· χαρίτωσον, Πανύμνητε, τους σε καθ ἑκάστην ανυμνούντας και μετανοίας δείξον ημίν την οδόν, την άγουσαν προς τους ουρανούς, ίνα συν τω τόκω σου εσαεί ευφραινόμεθα.

## Ωδή στ΄. Την θείαν ταύτην.

Στερρώ φρονήματι ήσκησας εν φάραγγι της Γούβας τηκόμενος παννύχοις στάσεσι, χαμαικοιτία και δάκρυσιν, Ιωακείμ, οσίων δειχθείς ομότροπος.

Ιθάκης θείε διδάσκαλε, αλλοίωσιν επέφερες άριστον τοις σεβομένοις σε, Ιωακείμ, και κατηύθυνας αυτούς προς σωτηρίας λιμένα εύδιον.

Ωσεί λαμπτήρ εκλαμπρότατος κατηύγασας ακτίσι θαυμάτων σου Ιθάκην άπασαν και αστυνόμον κατέπιθες τον σε καταζητούντα εάν σε ήσυχον.

Θεοτοκίον.

Ατρέπτως, Μήτερ απείρανδρε, κυήσασα σαρκί τον Παντάνακτα αράν ηφάνισας την παναρχαίαν και άπασιν επήγασας αφθόνως την απολύτρωσιν.

Κοντάκιον. Ήχος πλ. δ΄. Τη υπερμάχω.

Βατοπεδίου τον φωστήρα τον ανέσπερον, τον εξ Ιθάκης επ ἐσχάτων ανατείλαντα και φωτίσαντα θαυμάτων φαιδραίς ακτίσιν, άμα λόγων θεοπνεύστων άπαν πλήρωμα ευσεβών, Ιωακείμ, τοις ύμνων στέφομεν ρόδοις κράζοντες· Χαίρε, Πάτερ θεόσοφε.

Ο Οίκος

Άκρας φιλανθρωπίας και αγάπης επώφθης, σεμνέ Ιωακείμ, εκμαγείον· διο πάντες βροτών οι χοροί και αγγέλων τάξεις την σεπτήν μέλπουσι, τρισμάκαρ, πολιτείαν
σου βοώντες ευθαρσώς τοιαύτα·
Χαίρε, βλαστέ ιερέ Ιθάκης,
χαίρε, χρυσέ θησαυρέ αγάπης·
Χαίρε, διδασκάλων κανών ο ευθύτατος,
χαίρε, μονοτρόπων λειμών ο ηδύτατος·
Χαίρε, λύχνε φωτοπάροχε Εκκλησίας του Χριστού,
χαίρε, στύλε ακλινέστατε του θεόφρονος λαού·
Χαίρε, Βατοπεδίου λαμπαδούχος ο μέγας,

χαίρε, του υποδούλου πλήθους πάμφωτον σέλας·
Χαίρε, χηρών προστάτης θερμότατος,
χαίρε, εικών αδόλου πραότητος·
Χαίρε, ηθών φυτοκόμε οσίων,
χαίρε, παθών ριζοτόμε αισχίστων
Χαίρε, Πάτερ θεόσοφε.

Συναξάριον.

Τη 23η του αυτού μηνός, μνήμη του οσίου και θεοφόρου πατρός ημών Ιωακείμ του Ιθακησίου, του εν τοις εσχάτοις χρόνοις λόγοις και θαύμασι διαλάμψαντος.

Στίχοι.

Κήρυξ αληθείας και αγάπης ώφθης,
σοφέ Ιωακείμ, τεραστίων φρέαρ.

Ωδή ζ΄. Ουκ ελάτρευσαν.

Κόσμος πάγχρυσος, Χριστιανών ωράϊσμα, Ιθάκης βλάστημα, εδείχθης, Ιωακείμ, πενήτων αντίληψις, αγάπης έκτυπον, άμα πάνσεπτον φιλαλληλίας τέμενος και χιτών γυμνητευόντων.

Ευλαβέστατε Ιωακείμ, θερμότατος εγένου πρόμαχος χηρών τε και ορφανών, καμνόντων βοήθεια, νοσούντων ίαμα, και γλυκύτατος πενήτων επιούσιος άρτος, πάτερ θεοφόρε.

Ιερώτατον ναόν εν Ράχη έκτισας ιδρώσι πλείστοις σου και άλλον εν Ανωγή, προσέτι της μάρτυρος

Βαρβάρας πάγκαλον, Θεοφόρητε, εν τω Σταυρώ, παρ ᾧπερ συ ευλαβώς και ενετάφης.

Θεοτοκίον.

Μητροπάρθενε, ευλογημένη Δέσποινα, δεινής φαυλότητος περιπεζίου καμέ τον σε μεγαλύνοντα αεί απάλλαξον και καρδίας μου την έφεσιν ανύψωσον προς τον έρωτα τον θείον.

Ωδή η΄. Παίδας ευαγείς.

Τις σου τους καμάτους εξυμνήσει και πλούτον της σης αγάπης τον ασύλητον η τις διηγήσητε πόνους και ιδρώτάς σου, ους ακλινώς υπήνεγκας, ιεραπόστολε, υπέρ της των πολλών σωτηρίας, ευσεβείας στύλε, Ιωακείμ, βοώμεν.

Ίνα μιμηθής τους εν ερήμω οσίους πατέρας, μάκαρ, τοις βλεφάροις σου νυσταγμόν ουκ έδωκας τοις τιμίοις, όσιε, και βιοτήν σου αίθριος άγων ασίγητον ευχήν την νοεράν των οστών σου γλυκασμόν και τέρψιν της σης καρδίας έσχες.

Μνήμην έχων πάντοτε θανάτου των βίου τερπνών και ηδονών, μακάριε Ιωακείμ, εμάκρυνας και ως πάντων έσχατος δεινώς παρενοχλούμενος, κολαφιζόμενος και ρίψεις υπομένων, θεόφρον, λίθων θεαρέστως ετέλεσας τον βίον.

Θεοτοκίον.

Άσμα μυστικόν χρηστοηθείας και ύμνος αγνείας πέλουσα, πανύμνητε Μήτερ, μελιχρότατος, Παναγία Δέσποινα, εν τη σεπτή νηδύϊ σου τον Παντοκράτορα

Χριστόν κατηξιώθης βαστάσαι και την σωτηρίαν ημών μελοποιήσαι.

Ωδή θ΄. Άπας γηγενής.

Σέμνωμα λαού Ιθάκης περίλαμπρον, θαυμάτων τέμενος ώφθης και πολύρρυτος κρουνός προχέων πιστοίς ιάματα, Ιωακείμ· διόπερ σου την θείαν κοίμησιν μελωδούντες ύμνοις τον κρατύναντά σε εν βίω απαύστως δοξάζομεν.

Θραύσας μηχανάς του πλάνου αλάστορος πολλαίς στερήσεσι, των γονάτων κλίσεσι, σαρκίου τήξει, δακρύων χεύμασι και αγρυπνίαις γέγονας αγάπης έκτυπον, σωφροσύνης σκεύος και πραότητος ακροθίνιον, πάτερ πανόσιε.

Ως φωτός πηγήν πυρσεύμασι χάριτος την καταύγασαν εν εσχάτοις έτεσι Βατοπεδίου μονήν την πάνσεπτον, Πελοποννήσου πέρατα, Ιθάκην, Ήπειρον και Ελλάδος πλάτη ευφημούμέν σε, Ιθακήσιον γέρας, εκάστοτε.

Θεοτοκίον.

Χαίρε, Μαριάμ, Παντάνασσα Δέσποινα, αναβοώμέν σοι, τείχος και οχύρωμα του εν Ιθάκη πατρός θεόφρονος, Ιωακείμ, και καύχημα αυτού περίδοξον άμα κλέος των υμνολογούντων σε εις αιώνας πιστών, Μητροπάρθενε.

Εξαποστειλάριον. Ήχος γ΄. Ο ουρανόν τοις άστροις.

Της του Χριστού Εκκλησίας το νέον κόσμημα, πάντες, ανευφημήσωμεν ύμνοις, Ιωακείμ τον ασκητήν, φιλανθρωπίας το κύδος και αγαπήσεως στέφος.

Θεοτοκίον.

Ως τον Σωτήρα των πάντων, Θεογεννήτορ, τεκούσα της ουρανών βασιλείας μέτοχον έργασαι καμε ταις σαις απαύστοις πρεσβείαις, Παντοβασίλισσα, κράζω.

Εις τους Αίνους, ιστώμεν στίχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ΄. Ω του παραδόξου θαύματος.

Πάτερ, ασκουμένων έκτυπον, Ιωακείμ, των φθαρτών πάσαν σχέσιν κατέλιπες και ναυτίλλου έργον σου του Παντάνακτος έρωτι· συ γαρ εις Όρος ελθών το Άγιον υπακοής τε και ταπεινώσεως ώφθης κειμήλιον και δοχείον γέγονας των δωρεών του Αγίου Πνεύματος, θεομακάριστε.

Πάτερ, φιλανθρώπου δράσεως, Ιωακείμ, κορυφή, αδυνάτους εστήριξας, πενομένους έθρεψας και νοσούντας ιάτρευσας· προσφύγων ώφθης, σοφέ, αντίληψις και ευποιΐας εργάτης τίμιος· όθεν τιμώντές σε εφυμνίων άσμασι την σην σεπτήν μνήμην καταστέφομεν, θεοειδέστατε.

Πάτερ, απαθείας τέμενος, Ιωακείμ γεραρέ, εν δεινοίς περιστάσεσι κακουχίας ήνεγκας αταράχως, πανόσιε· συ γαρ προσηύχου κολαφιζόμενος, κακώς εν βίω

συκοφαντούμενος, παρενοχλούμενος, άμα λοιδορούμενος και ζοφεράς ύβρεις νήφων, άριστε, αποδεχόμενος.

Πάτερ, ιατρών ευπρέπεια, Ιωακείμ, εν καιροίς τοις εσχάτοις διέπρεψας ως αλεξιτήριον πάσης νόσου και θλίψεων ευεργετήσας της Θεομήτορος Όρος του Άθω, την Πελοπόννησον και την βλαστήσασαν νήσόν σε την πάγκαλον προς ουρανούς έδραμες του Κτίσαντος χωρήσαι τάγμασι.

Δόξα. Ήχος πλ. δ΄.

Τον ιλαρόν δότην των επιδεομένων, τον σοφόν διδάσκαλον της θεοσεβείας και ιατρόν εμπειρότατον των νοσούντων εν φωναίς ασμάτων μεγαλύνομεν· τον εν εσχάτοις τοις καιροίς φανέντα ως ήλιον και διαλάμποντα εν κάλλεσιν αρετών, Ιωακείμ, τον θειότατον εν ασκηταίς, εγκωμιάσωμεν κράζοντες· Ιθακησίων ωράϊσμα, πολιούχε και πρόβολε, σπεύσον, εξελού ημάς από κινδύνων και θλίψεων και ρύσαι ημάς ευχαίς σου εκ των δεινών της κολάσεως.

Και νυν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι…

Δοξολογία Μεγάλη και Απόλυσις.

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τα τυπικά, οι Μακαρισμοί και εκ του Κανόνος του Οσίου η γ καὶ η στ ᾠδή.

Απόστολος: Γαλ. ε 22-στ 2. (Ζήτει Σαββ. ΚΖ ἑβδ.).

Ευαγγέλιον: Ματθ. ια 27-30. (Ζήτει τη 5η Δεκεμβρίου εις την Λειτουργίαν).

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον.

Μεγαλυνάριον

Χαίροις, εγκαλλώπισμα μοναχών του Βατοπεδίου και Ιθάκης βλαστέ σεπτέ, χαίροις, της αγάπης προς πέλας μυροθήκη, Ιωακείμ θεόφρον, ιεραπόστολε.

Δίστιχον.

Σε, Ιωακείμ, Χαραλάμπης υμνήσας
Χριστόν δοξάζει, τον στεφανώσαντά σε.

